ἐμπόρῳ, πόσου τιμήματος ὁ ψάλτης. ὁ δέ φησι, χιλίων δη-
ναρίων. ὁ δὲ ἀκούσας ὅλως ἐν ὑπερβολῇ, ἦλθε πρὸς τὸν
ἕτερον, καί φησι, σὺ δὲ πόθεν εἶ. ὁ δὲ λέγει, Λυδός. Καὶ
ὁ Ξάνθος, τί οὖν οἶδας ποιεῖν, καὶ ὁ παῖς, ἅπαντα. ὁ δὲ
Αἴσωπος πάλιν ἐγέλασεν. Ἰδόντες δὲ οἱ σχολαστικοί, εἶπον,
τί ἄρα οὗτος πρὸς πάντα γελᾷ. ἕτερος δὲ λέγει πρὸς αὐ-
τόν, ἐὰν θέλῃς θαλάσσιον τράγον ἀκοῦσαι, ἐπερώτησον αὐ-
τόν. ὁ δὲ Ξάνθος λέγει τῷ ἐμπόρῳ, πόσου τιμήματος
τὸν γραμματικὸν πωλεῖς. ὁ δὲ τρισχιλίων. Ἀκούσας δὲ ὁ
Ξάνθος, ἠκηδίασε, καὶ στραφεὶς, ἐπορεύετο. Οἱ δὲ σχολα-
στικοὶ εἶπον πρὸς αὐτόν, καθηγητὰ, οὐκ ἤρεσάν σοι τὰ
σωμάτια. ὁ δὲ ναί φησι. ἀλλὰ δόγμα ἐστὶ πολύτιμον
ἀνδράποδον μὴ ὠνεῖσθαι. Εἷς δὲ τῶν σχολαστικῶν λέγει, εἰ
παράγγελμα ἐστὶ πολύτιμον σωμάτιον μὴ ὠνεῖσθαι, ἀγό-
ρασον τοῦτον τὸν αἰσχρόν. Καὶ γὰρ τὴν αὐτὴν διακονίαν ἐργ-
άσει καὶ αὐτὸς, ἡμεῖς δὲ κἀκείνου δώσομεν τὸ τίμημα. ὁ
δέ φησι, γελοῖον ἡμῖν ἐστὶ καταγελώντων τοῦ δοῦναι ὑμᾶς τὴν